Geisterbanner, -beschwörer ὁ ψυχαγωγός, selten ὁ ψυχόμαντις, νεκυόμαντις, νεκρόμαντις (der d. Seelen Abgeschiedener beschwört); ὁ κακοδαιμονιστής (der böse Geister beschwört).

Geisterbeschwörung ἡ ψυχαγωγία, selten ψυχομαντεία, νεκυομαντεία, νεκρομαντεία. — Ort für d. G. τὸ νεκυομαντεῖον, νεκρομαντεῖον, ψυχομαντεῖον, ψυχαγώγιον.

Geistererscheinung τὸ εἴδωλον, τὸ φάσμα, φάντασμα.

Geistergeschichte ὁ περὶ εἰδώλων od. φασμάτων μῦθος.

Geisterseher, s. Geisterbanner, Zauberer.

Geisterseherei, s. Geisterbeschwörung, Zauberei.

Geisterwelt οἱ δαίμονες.

geistesabwesend ἔξω αὑτοῦ (ἔξω γνώμης) ὤν 3., ἔξω γενόμενος 3.; ἔκφρων 2.; sp. παραστατικός 3.

Geistesabwesenheit ἡ (τῶν λογισμῶν) ἔκστασις; sp. ἡ παράστασις.

Geistesanlagen αἱ τῆς ψυχῆς ἀρεταί; ἡ φύσις; vgl. Fähigkeit.

Geistesanstrengung ἡ τῆς ψυχῆς διάτασις.

Geistesarmuth τὸ τῆς γνώμης ἐνδεές; ἡ ἀφυΐα, τὸ ἀφυές.

Geistesbeschäftigung τὸ τῆς ψυχῆς ἔργον od. ἐπιτήδευμα.

Geistesbildung ἡ τῆς ψυχῆς παίδευσις; ἡ παιδεία.

Geistesgaben, s. Geistesanlagen.

Geistesgegenwart ἡ παράστασις, τὸ τῆς ψυχῆς παράστημα sp.; besser τὸ φρόνιμον, ἡ ἀγχίνοια, ἡ ἀνδρεία. — d. G. besitzt παραστατικός 3. sp.; besser ἀγχίνους 2., ἀνδρεῖος 3.

Geistesgrösse ἡ μεγαλοψυχία, μεγαλοφροσύνη, μεγαλογνωμοσύνη; τὸ μεγαλόψυχον, μεγαλόφρον; sp. τὸ τῆς ψυχῆς μέγεθος. — G. besitzen μεγαλοφρονεῖν u. *M.* (selten); sp. μεγαλογνωμονεῖν. — der G. besitzt μεγαλόψυχος, μεγαλόθυμος, μεγαλόφρων, μεγαλογνώμων 2.

Geisteskraft 1) ἡ τῆς ψυχῆς δύναμις; ἡ εὐφυΐα, τὸ εὐφυές. — 2) = Geistesstärke, w. s.

geisteskrank νοσῶν (3.) τὴν ψυχήν; vgl. verrückt, wahnsinnig, schwermüthig, melancholisch.

Geisteskrankheit ἡ τῆς ψυχῆς (ψυχικὴ) νόσος; vgl. Verrücktheit, Wahnsinn, Schwermuth, Melancholie.

Geistesnahrung ἡ τῆς ψυχῆς τροφή od. νομή.

Geistespflege ἡ τῆς ψυχῆς θεραπεία.

Geistesproduct τὸ τῆς ψυχῆς ἔργον.

geistesschwach ἀσθενής (2.) τὴν ψυχήν; ἀμβλύς (3.) τὴν φύσιν; ἀφυής 2.

Geistesschwäche ἡ τῆς ψυχῆς ἀσθένεια; ἡ τῆς φύσεως ἀμβλύτης; ἡ τῆς γνώμης βραχύτης; ἡ ἀφυΐα, τὸ ἀφυές.

Geistesschwung ἡ τῆς ψυχῆς ὁρμή; vgl. Begeisterung.

Geistesstärke ἡ τῆς ψυχῆς ῥώμη, δεινότης, καρ- [τερία.

geistesstark δεινὸς (3.) τὴν ψυχήν; καρτερὸς od. καρτερικὸς (3.) τὴν ψυχήν; ἐρρωμένος (3.) τῇ [ψυχῇ.

Geistesthätigkeit ἡ τῆς ψυχῆς ἐνέργεια.

Geistestiefe τὸ τῆς ψυχῆς βάθος.

Geistesträgheit ἡ τῆς ψυχῆς ἀργία; vgl. Geistesschwäche.

geistesverwirrt παράφρων 2., ὁ, ἡ παραπλήξ, ῆγος, παραπεπληγμένος 3., παράφορος 2., ἐκστατικός 3. (τοῦ λογισμοῦ). — g. sein παραφρονεῖν, παρανοεῖν. — vgl. wahnsinnig.

Geistesverwirrung ἡ παραφροσύνη, παράνοια, ἡ (τῆς διανοίας) παραφορά, ἡ (τῶν λογισμῶν) ἔκστασις. — in G. gerathen ἐκστῆναι ἑαυτοῦ, παρακινεῖν. — vgl. Wahnsinn.

Geisteswerk τὸ τῆς ψυχῆς ἔργον.

Geisteszerrüttung, s. Geistesverwirrung.

geistig 1) körperlos: ἀειδής, ἀσώματος 2., sp. ἄσωμος 2. — 2) d. Geist betreffend: ψυχικός 3.; meist ὁ, ἡ, τὸ ἐν τῇ ψυχῇ, κατὰ τὴν ψυχήν, τῆς ψυχῆς; auch τῇ ψυχῇ ἐνών od. προσών 3.; erst sp. πνευματικός 3. — g. wahrnehmen νοεῖν; g. wahrnehmbar νοητός 3. — g. Wesen ἡ ψυχή. — 3) v. Getränken: θερμός, ὀξύς 3.; ἄκρατος 2. (ungemischt).

geistlich ἱερός 3.; κληρικός 3. K. S. — e. g. Amt ὁ κλῆρος K. S.

Geistliche ὁ ἱερεύς; ὁ κληρικός K. S.

Geistlichkeit οἱ ἱερεῖς; ὁ κλῆρος K. S. — zur G. gehörig κληρικός 3. K. S.

geistlos ἀφυής 2., ἀβέλτερος 2., ἀμβλὺς (3.) τὴν φύσιν; ἄμουσος 2. (ohne Sinn für höhere Bildung). — v. Dingen ψυχρός 3. (kalt, frostig).

Geistlosigkeit ἡ ἀφυΐα, τὸ ἀφυές; ἡ ἀβελτερία; ἡ τῆς γνώμης ἀμβλύτης, τὸ ἀμβλὺ τῆς γνώμης; ἡ ψυχρότης, τὸ ψυχρόν.

geistreich, geistvoll εὐφυής 2., δεινὸς od. κράτιστος (3.) τὴν ψυχήν; ἀγχίνους 2. — v. Sachen ἀστεῖος, χαρίεις 3.; ἐπίχαρις u. εὔχαρις, ι (*gen.* ιτος).

Geiz ἡ φιλοχρηματία, φιλοχρημοσύνη, φιλαργυρία, τὸ φιλοχρήματον, auch ἡ τῶν χρημάτων ἐπιθυμία (Liebe zum Gelde, Sucht nach Geld); ἡ πλεονεξία (Habsucht); ἡ φιλοκέρδεια, τὸ φιλοκερδές (Gewinnsucht); ἡ φειδώ, οῦς, ἡ φειδωλία (Sparsamkeit, Genauigkeit); ἡ γλισχρότης, μικρολογία, ἀνελευθερία, κιμβεία, ῥυπαρία, ῥυπαρότης (schmutziger G., Filzigkeit).

geizen 1) = geizig sein, s. geizig. — 2) nach etw. g.: ἐπιθυμεῖν, γλίχεσθαι, auch πεινῆν u. διψῆν τινος. — 3) m. etw. g.: φείδεσθαί τινος; γλίσχρως χρῆσθαί τινι od. ταμιεύεσθαί τι.

Geizhals ὁ φιλοχρήματος, φιλάργυρος u. dgl., s. d. f. W. u. vgl. „Filz“ u. „Knauser“.

geizig φιλοχρήματος, φιλάργυρος, ἐρασιχρήματος 2. (d. das Geld liebt); ὁ φιλοχρηματιστής (der nach Geld trachtet); ὁ πλεονέκτης, πλεονεκτικός 3. (habsüchtig); φιλοκερδής 2. (gewinnsüchtig); φειδωλός 3. u. 2. (sparsam, genau); γλίσχρος 3., μικρολόγος, ἀνελεύθερος 2., ῥυπαρός 3. (schmutzig g.). — g. sein φιλοχρηματεῖν, φιλοχρημονεῖν, sp. φιλαργυρεῖν; πλεονεκτεῖν, πλεονεξίᾳ χρῆσθαι, πλεονεκτικῶς ἔχειν; χρημάτων ἐπιθυμεῖν od. πεινῆν; φιλοκερδεῖν; μικρολογεῖσθαι, sp. γλισχρεύεσθαι; m. etw. g. sein, s. geizen 3).

Gekläffe, s. das Kläffen.

Geklage ἡ θρηνῳδία.

Geklapper, s. das Klappern.

Geklatsch *a*) eig. s. das Klatschen. *b*) übtr. τα στωμύλματα; ὁ λῆρος (u. *pl.*); ὁ ὕθλος; vgl. Ge- [schwätz.

Geklingel, s. das Klingeln.

Geklirr, s. das Klirren.

Gekreisch ἡ κραυγή.

Gekröse τὸ μεσεντέριον, sp. μεσάραιον, ἡ ἐπιχορδίς, ίδος (an d. dünnen Därmen); τὸ μεσόκωλον, auch ἡ (sp. ὁ) χόλιξ, ικος (an d. dicken Därmen). — im G. befindlich μεσαραϊκός 3. sp.

Gekrösedrüse τὸ πάγκρεας, ατος.

gekrümmt, s. krumm.

gekünstelt, s. künsteln.

Gelächter ὁ γέλως, ωτος; starkes G. πολὺς γέλως, heftiges, lautes G. μέγας od. ἰσχυρὸς γέλως (ὁ καγχασμός sp.); helles G. ὁ καπυρὸς γέλως sp.; ausgelassenes G. ὁ ἀνειμένος od. προπετὴς γέλως. — G. erregen γέλωτα παρέχειν, παρασκευάζειν, ποιεῖν, κινεῖν, auch ὀφλισκάνειν; G. erregen wollen γέλωτα μηχανᾶσθαι. — es entsteht e. G. über etw. γέλως γίγνεται ἐπί τινι. — es bricht e. G. los γέλως καταρρήγνυται *P.* — Jmd. zum G. machen γέλωτα τίθεσθαι, ποιεῖσθαι, ἀποδεικνύναι τινά; ἐν γέλωτι ποιεῖσθαί τινα. — e. G. erheben, in e. G. ausbrechen ἐκγελᾶν, ἀνα-, ἐκ-καγχάζειν, ὁρμᾶν εἰς γέλωτα; in e. helles G. ausbrechen ἐκκαγχάζειν ἀθρόον. — ausbrechendes G. γέλως ἐκγελῶν. — zum G. dienen καταγελᾶσθαι *P.*, καταγέλαστον εἶναι.

Geländer ὁ δρύφακτος, τὸ δρύφακτον (Schranken); G. um etw. herum ὁ περίβολος (selten ἡ περιβολή), ὁ περίδρομος, τὸ περίφραγμα (sp. ὁ περιφραγμός, ἡ περιγραφή), τὸ παράφραγμα.

Gelärm, s. Lärm.

geläufig εὔπορος, sp. ἐπίτροχος 2. (v. d. Zunge); εὔστροφος 2. (v. d. Rede sp.); εὐπετής 2. (leicht, bequem); ἐλαφρός 3. (flink, gewandt); ἕτοιμος 3. u. 2., πρόχειρος 2. (bereit, zur Hand). — es ist mir etw. g. ἕτοιμός εἰμι πρός τι, εὐπετῶς προχωρεῖ μοί τι. — sich etw. g. machen οἰκειοῦσθαί τι, ἀσκεῖν τι, auch ἀσκεῖσθαί τι. — ein sehr g. Sprichwort λόγος πολυθρύλητος.

Geläufigkeit ἡ ἐλαφρότης; τὸ εὔπορον, εὔστροφον u. dgl., s. d. vhg. W.

Geläute ὁ κόμπος, κρότος; ὁ τῶν κωδώνων od. κροτάλων ἦχος; = d. Schellen selbst οἱ (αἱ) κώδωνες, τὰ κρόταλα.

Gelag τὸ συμπόσιον, ἡ συνουσία, συμβολή; lärmendes G. ὁ κῶμος; vgl. Schmaus. — Theilnehmer am G. ὁ συμπότης (ihn betreffend συμποτικός 3.). — Ordner des G. ὁ συμποσίαρχος (συμποσιάρχης sp.); sein Amt ἡ συμποσιαρχία; Ordner d. G. sein συμποσιαρχεῖν. — d. G. betreffend συμποσιακός 3. — sprichw. in's G. hinein εἰκῇ, od. *adj.* εἰκαῖος 3. (sp.); in's G. hinein reden εἰκῇ λέγειν, sp. εἰκαιολογεῖν (dazu εἰκαιολόγος 2., ἡ εἰκαιολογία); λέγειν ὅ τι ἂν τύχῃ od. ἔλθῃ ἐπὶ τὸ στόμα.

gelangen 1) wohin kommen: ἀφικνεῖσθαι, ἥκειν, παραγίγνεσθαι εἴς (ἐπί, πρός) τι; ἐξικνεῖσθαι εἴς (ἐπί, πρός) τι (bis wohin g.), auch ἐφικνεῖσθαι πρός τι u. ἐφ. τινος (etw. treffen). — v. Sachen: ἀφικνεῖσθαι, ἥκειν; κομίζεσθαι, προσκομίζεσθαι *P.* — v. Gerüchten, Nachrichten διαδίδοσθαι, διαθρυλεῖσθαι, διήκειν, ἀπαγγέλλεσθαι *P.* — v. Eingaben ἀναφέρεσθαι (*P.*) εἴς od. πρός τινα. — d. Reihe nach an Jmd. g. περιήκειν εἴς τινα. — vor Jmd. g. lassen προσφέρειν, παρα-, ἀπο-διδόναι τί τινι; ἀναφέρειν τι εἴς (πρός) τινα; ἀπαγγέλλειν τί τινι. — vgl. kommen, ankommen. — 2) zu etw. g. = erlangen, erreichen, w. s. — zu grosser Macht g. ἐλθεῖν ἐπὶ

μέγα δυνάμεως, auch τὰ πράγματά τινος ἐπὶ μέγα προχωρεῖ. — zu hohem Alter g. εἰς γῆρας ἐλθεῖν. — zu seinem Zwecke g. διαπράττειν (u. *M.*) ἃ βούλεταί τις.

Gelass ἡ εὐρυχωρία; was G. hat εὐρύχωρος 2., vgl. geräumig.

gelassen πρᾶος, πραεῖα, πρᾶον, ἠρεμαῖος 3. (sanft); εὔκολος 2. (anspruchslos, verträglich); ἥσυχος u. ἡσύχιος 2. (ruhig); μέτριος 3. u. 2. (mässig); σώφρων 2. (besonnen; sp. κατεσταλμένος 3.); ἀπαθής, ἀτάρακτος, ἀνέκπληκτος 2. (leidenschaftslos, unerschütterlich). — g. ertragen πρᾴως, μετρίως, ῥᾳδίως, εὐχερῶς, εὐπετῶς φέρειν od. ὑπομένειν τι, auch ἀνέχεσθαι m. *part.*, z. B. Schmähungen g. ertragen ἀνέχεσθαι λοιδορούμενον. — g. bleiben ἡσυχίαν ἄγειν od. ἔχειν, ἡσυχάζειν, ἠρεμεῖν, καρτερεῖν; κατέχειν ἑαυτόν, κρατεῖν ἑαυτοῦ.

Gelassenheit ἡ πρᾳότης, ἠρέμησις, ἠρεμία, ἡσυχία, ἡσυχιότης, τὸ ἥσυχιον, ἡ μετριότης, σωφροσύνη (sp. καταστολή); ἡ ἀπάθεια, ἀταραξία, ἀνεκπληξία. — d. grösste G. τὸ ἀνεκπληκτότατον. — m. G., s. gelassen.

gelb ξανθός 3. (poet. ξουθός 3. u. 2.; goldgelb); πυρρός 3. (feuergelb); κροκοῦς 3. (safrangelb); μήλινος 3., μηλινοειδής 2. (hellgelb, quittengelb); κιρρός 3. (blassgelb); χλωρός 3. (grüngelb); ὠχρός, θάψινος 3. (fahl). — g. Farbe ἡ ξανθότης, πυρρότης, ὠχρότης. — g. machen ξανθίζειν; g. werden ξανθύνεσθαι, πυρροῦσθαι *P.* — g. aussehen μηλίζειν sp. — d. Gelbe im Ei ὁ τοῦ ᾠοῦ κρόκος; vgl. Dotter.

gelbgrün χλωρός 3.

gelblich ὑπό-, ἐπί-ξανθος 2. — v. g. Aussehen κιρροειδής (κιρρώδης) 2. — m. g. Augen ὠχρόμματος 2.

Gelbsucht ὁ ἴκτερος. — d. G. haben ἰκτεριᾶν. — d. G. bekommen ἰκτεροῦσθαι *P.*

gelbsüchtig ἰκτερικός 3.; besser ἰκτεριώδης u. ἰκτερώδης 2.

Geld τὸ ἀργύριον (Silbermünze, dann übh. Geld); τὸ χρυσίον (Goldmünze); τὸ νόμισμα (Münze); τὰ κέρματα (kleines G.); τὰ χρήματα (Vermögen). — verdientes G. ἡ ἐμπολή (bes. v. d. Lohn d. Buhlerinen); schuldiges G. τὸ χρέος, τὸ ὀφειλόμενον ἀργύριον; auf Zinsen ausständiges G. τὸ στάσιμον ἀργύριον; vgl. Kaufgeld. — für G. zu haben ὤνιος 2. u. 3. — um G. verkauft ἀργυρώνητος 2. — wir haben kein G., womit wir kaufen könnten οὐκ ἔστιν ἡμῖν ὅτου ὠνησόμεθα. — etw. um vieles G. kaufen πολλοῦ πρίασθαι. — etw. zu G. anschlagen εἰς ἀργύριον λογίζεσθαί τι. — zu G. machen ἐξαργυρίζειν (-ροῦν Hdt.; seine Habe zu G. machen ἐξαργυρίζεσθαι; ἐξαργυρίζειν aber bedeutet auch: Jmd. um sein G. bringen). — G. eintreiben od. erpressen ἀργυρολογεῖν, v. Jmd. τινά u. ἔκ τινος (dazu ἀργυρολόγος 2., ἡ ἀργυρολογία), ἀργυρίζεσθαί τινα. — Wettkampf, wo d. Preis in G. besteht ὁ ἀργυρίτης ἀγών sp. — G. prägen κόπτειν νόμισμα. — ohne G. ist nichts auszurichten ἄνευ χρημάτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων. — um G. strafen χρήμασι ζημιοῦν. — G. macht d. Mann χρήματ' ἀνήρ. — Geld ist d. Seele d. Welt ὁ πλοῦτος νεῦρα τῶν πραγμάτων.

Geldangelegenheiten τὰ περὶ τὰ χρήματα, τὰ τῶν χρημάτων, auch τὰ χρήματα, οἱ πόροι.

geldarm ἀχρήματος 2.; vgl. arm.

Geldarmuth ἡ ἀχρηματία; vgl. Armuth.

Geldausgabe ἡ δαπάνη, τὸ ἀνάλωμα. — dies verursacht viele G. τοῦτ' ἔστι (τοῦτο δεῖ) πολλῆς δαπάνης.

Geldbedarf τὰ χρήμαθ' ὧν δεῖ, τὰ ἀναγκαῖα χρήματα; ἡ δαπάνη, τὸ ἀνάλωμα.

Geldbedürfniss, s. Geldmangel u. Geldbedarf.

geldbedürftig χρημάτων ἐνδεής 2. od. δεόμενος 3.

Geldbegierde ἡ τῶν χρημάτων ἐπιθυμία, ἡ φιλαργυρία, φιλοχρηματία, φιλοχρημοσύνη, τὸ φιλοχρήματον.

geldbegierig χρημάτων ἐπιθυμῶν 3.; ἐρασιχρήματος 2.; φιλάργυρος, φιλοχρήματος 2., ὁ φιλοχρηματιστής; vgl. geizig.

Geldbeitrag ὁ ἔρανος (zu e. wolthätigen Vereine); ἡ συμβολή (zu e. Pikenik).

Geldbelohnung τὰ χρήματα, τὸ ἀργύριον. — Jmd. e. G. geben τιμᾶν τινα χρήμασι od. ἀργυρίῳ. [ματα.

Geldbeute τὰ κατὰ τὸν πόλεμον ληφθέντα χρή-

Geldbeutel, Geldbörse, s. Beutel.

Geldbusse, s. Geldstrafe.

Gelddiebstahl ἡ χρημάτων κλοπή.

Geldeinkünfte, s. Geldeinnahme 2).

Geldeinnahme 1) d. Einnehmen: ἡ χρημάτων λῆψις, συλλογή, ἀποδοχή. — 2) das eingenommene Geld: τὸ λῆμμα, τὰ εἰσιόντα χρήματα, αἱ πρόσοδοι, οἱ πόροι.

Gelderwerb ἡ χρημάτων κτῆσις, ὁ χρηματισμός, ἡ χρημάτισις, sp. ὁ ἀργυρισμός. — der sich m. G. befasst ὁ χρηματιστής, φιλοχρηματιστής. — d. sich auf G. versteht ὁ χρηματιστικός.

Geldforderung τὸ ὀφειλόμενον ἀργύριον. — ich habe e. G. ὀφείλεταί μοι ἀργύριον.

Geldgeiz, s. Geldbegierde.

Geldgeschäft ὁ χρηματισμός. — e. G. machen χρηματίζεσθαι; der G. macht ὁ χρηματιστής.

Geldgeschenk ἡ χρημάτων δωρεά, τὰ δοθέντα χρήματα.

Geldgier, geldgierig, s. Geldbegierde, geldbe- [gierig.

Geldherrschaft ἡ πλουτοκρατία.

Geldkasse, s. Kasse.

Geldkasten ἡ ἀργυριοθήκη (sp. ἀργυροθήκη).

Geldkatze ἡ ζώνη.

Geldliebe, s. Geldbegierde.

Geldlieferung ἡ χρημάτων ἀποφορά. — e. G. an Jmd. machen χρήματα ἀποφέρειν od. ἀποστέλλειν τινί.

Geldmangel ἡ χρημάτων σπάνις (ἔνδεια). — an G. leiden σπανίζειν, δεῖσθαι, ἐνδεῖσθαι χρημάτων, auch ἐνδεῖ μοι χρημάτων.

Geldmittel τὰ χρήματα; auch ἡ δαπάνη (u. *pl.*), z. B. G. ausfindig machen δαπάνας ἐξευρίσκειν.

Geldnoth ἡ χρημάτων ἀπορία. — in G. sein ἀπορεῖν χρημάτων.

Geldposten (in d. Rechnung) ἡ ψῆφος; (Schuld) τὸ χρέος; übr. = Geldsumme, w. s.

Geldpunkt τὸ (τὰ) τῶν χρημάτων od. τῆς δαπάνης. — was d. G. anbetrifft τὸ δὲ τῶν χρημάτων, περὶ δὲ τῶν χρημάτων.

Geldquelle ὁ πόρος.

Geldsack τὸ ἀργυρίου σακίον (Sack voll Geld); sonst τὸ σακίον ᾧ χρῶνται εἰς τὴν τοῦ ἀργυρίου κομιδήν u. dgl.

Geldsammlung ἡ τῶν χρημάτων συλλογή (sp. ἐκλογή). — zu humanen Zwecken ὁ ἔρανος. — Beitrag zu e. solchen G. ὁ ἔρανος. — Beiträge zu e. solchen G. erheben v. Jmd. ἐρανίζειν τινά u. παρά τινι; für Jmd. e. solche G. veranstalten ἐρανίζειν τινί. — d. Einsammeln v. Beiträgen ἡ ἐράνισις, sp. ὁ ἐρανισμός. — e. Verein, der sich zu solchen G. bildet ὁ ἔρανος; Theilnehmer desselben ὁ ἐρανιστής (*fem.* ἡ ἐρανίστρια); Vorstand desselben ὁ ἐρανάρχης sp.; d. Verein betreffend ἐρανικός 3.

Geldschuld τὸ ὀφειλόμενον ἀργύριον, τὰ ὀφειλόμενα χρήματα, τὸ χρέος, τὸ ὄφλημα.
Geldsorte τὸ εἶδος νομισμάτων od. κερμάτων.
Geldspende ἡ χρημάτων νομή; ἡ δωρεά.
Geldstolz ὁ ἐπ' ἀργυρίῳ od. τοῖς χρήμασιν ὄγκος. — G. besitzen od. geldstolz sein μέγα φρονεῖν ἐπὶ τοῖς χρήμασιν.
Geldstrafe τὸ τίμημα (selten ἡ τιμή); τὸ ὄφλημα; ἡ ζημία (ἡ χρημάτων ζημία; sp. ἡ ἀργυρικὴ od. χρηματικὴ ζημία); ἡ ἐπιβολή. — e. G. erlegen ζημίαν ἀπο-, ἐκ-τίνειν, καταβάλλειν, εἰσφέρειν, ὄφλημα ἐκτίνειν, ἀποδιδόναι. — G. zu zahlen haben ζημίαν ὀφείλειν. — in G. verfallen ζημίαν ὀφλισκάνειν, λαμβάνειν; ἐπιβολὴν ὀφλισκάνειν; τιμᾶσθαι(P.) ἀργυρίου, ζημιοῦσθαι (P.) χρήμασιν. — Jmd. e. G. auferlegen τιμᾶν τινα ἀργυρίου, ζημίαν ἐπιτιθέναι τινί, ἐπιβολὴν ἐπιβάλλειν τινί, ζημιοῦν τινα χρήμασιν.
Geldstück τὸ νόμισμα. — kleines G. τὸ κέρμα, gew. κερμάτιον; ὁ κόλλυβος (nur: „um e. kleines G." κολλύβου).
Geldsumme τὸ ἀργύριον; grössere G. τὸ ἀργυρίου πλῆθος; τὸ κεφάλαιον (Kapital); vgl.
Geldumsatz ἡ χρημάτων μεταβολή. [Schuld.
Geldunterstützung, s. Unterstützung, Almosen; vgl. Geldsammlung.
Geldverlegenheit, s. Geldnoth.
Geldverlust ἡ ἀργυρίου ἀποβολή.
Geldverschwendung τὸ προΐεσθαι χρήματα; ἡ δαπάνη; ἡ χρημάτων ἀνάλωσις (u. als Sache τὸ ἀνάλωμα).
Geldvertheilung ἡ χρημάτων διανομή.
Geldwechsel, s. Wechselgeschäft.
Geldwechsler ὁ ἀργυραμοιβός; ὁ κολλυβιστής (sp. κερματιστής); ὁ τραπεζίτης (Banquier). — d. G. betreffend ἀργυραμοιβικός, τραπεζιτικός 3. — e. G. sein τραπεζιτεύειν. — nach Art e. G. ἀργυραμοιβικῶς.
Geldwechslergeschäft ἡ ἀργυραμοιβική, ἡ τραπεζιτεία; ἡ τῆς τραπέζης ἐργασία.
Geldwerth ἡ τιμή.
Gelée ἡ ὑπόστασις.
gelegen 1) e. Lage habend: κείμενος 3. — g. sein κεῖσθαι. — nahe g. προσ-, παρα-, ἐπι-κείμενος 3. — unterhalb g. ὑποκείμενος 3., vgl. liegen. — günstig g. ἐπίκαιρος 2. — 2) bequem, passend: καίριος 3., ἐπίκαιρος, εὔκαιρος 2.; καλός 3. — g. Zeit ὁ καιρός, ἡ εὐκαιρία, ἐπικαιρία (opp. ἀκαιρία). — zur g. Zeit ἐν καιρῷ, εἰς καιρόν, ἐπὶ καιροῦ, κατὰ od. πρὸς καιρόν, sp. σὺν καιρῷ (opp. ἀπὸ καιροῦ, παρὰ καιρόν); ἐν καλῷ (auch: am g. Orte), εἰς καλόν; ἐν (τῷ) δέοντι, εἰς δέον. — es geschieht etw. zur g. Zeit ἔχει τι καιρόν. — wie es ihm g. war ὡς αὐτῷ κατὰ καιρὸν ἦν. — wann es Jedem g. ist ἡνίκ' ἂν ἑκάστῳ προχωρῇ. — es kommt mir etw. g. εἰς δέον γίγνεταί μοί τι. — wenn es dir g. ist εἴ σοι βουλομένῳ ἐστίν. — 3) es ist mir an etw. g.: διαφέρει μοί τι, μέλει μοί τι u. τινος; es ist mir viel daran g. dass ... σφόδρα μοι μέλει ὥστε m. *inf.*, περὶ πολλοῦ ποιοῦμαι τὸ m. *inf.*
Gelegenheit τὸ πρᾶγμα, sp. ἡ περίστασις (Umstand); ἡ ἀφορμή, λαβή (G. zu etw.); ἡ πρόφασις (Vorwand); ἡ περίπτωσις (Zufall; selten); ὁ καιρός, ἡ εὐκαιρία, ἐπικαιρία, auch ἡ ἀκμή (rechte, günstige G.); ἡ εὐμάρεια (bequeme G.). — es bietet sich für Jmd. G., er erlangt od. findet G. παρέχει τινί m. *inf.* (gew. *acc. abs.* παρέχον od. παρασχόν), πάρεστί τινι m. *inf.*, καιρὸς παραπίπτει τινί, καιρὸν λαμβάνει τις, καιροῦ τυγχάνει od. λαμβάνεταί τις. — e. günstige G. finden εὑρίσκεσθαι ἀφορμήν, πρόφασιν. — G. geben zu etw. ἀφορμήν, λαβήν, πρόφασιν, auch ἐξουσίαν διδόναι, ἐνδιδόναι, παρέχειν, παρασκευάζειν τινί τινος; auch παρέχειν τινί m. *inf.* — auf e. G. lauern ἐφεστάναι od. προσεδρεύειν καιρῷ. — e. G. ergreifen ἀντιλαμβάνεσθαι καιροῦ, ἁρπάζειν καιρόν. — d. G. wahrnehmen τὸν καιρὸν τηρεῖν. — d. G. benützen χρῆσθαι τῷ καιρῷ; ἐπεμβαίνειν τῷ καιρῷ (zu Jmds. Schaden). — d. G. zu etw. aus d. Händen lassen, vorübergehen lassen τὸν καιρόν τινος παριέναι (ἵημι), ὑφιέναι καὶ προδιδόναι, παραλείπειν; auch παριέναι, διαφθείρειν τὴν ἀκμήν. — d. G. ist günstig wie nie zuvor καιρὸς ὡς οὔπω πρότερον. — bei G. = gelegentlich, w. s. — bei G. einer Sache ἐπί τινος, ἐπί τινι, auch γιγνομένου (γενομένου) τινός; bei der gegenwärtigen G. ἐπὶ τῷ παρόντι; bei solcher G. ἐπὶ τοιούτῳ πράγματι; bei vielen G. ἐπὶ πολλῶν, πολλάκις, πολλαχοῦ; bei jeder G. ἑκάστοτε, ὅπου ἂν (ὁπότ' ἂν) καιρὸς ᾖ od. παραπέσῃ (in d. indirecten Rede ὅπου od. ὁπότε καιρὸς εἴη od. παραπέσοι); bei erster, bester G. ὅταν πρῶτον καιρὸς ᾖ (ὁπότε ... εἴη), ὅταν πρῶτον τύχῃ (ὁπότε ... τύχοι). — bei e. anderen G. ἑτέρωθι; bei anderen G. ἄλλοτε, bei vielen anderen G. πολλάκις ἄλλοτε. — bei G. der Aufführung θέας ἐπιτελουμένης. — bei dieser G. κατὰ τοῦτον τὸν καιρόν, ἐν τούτῳ (ἐν τούτοις), ἐνταῦθα, τότε; oft durch *part.*, z. B. bei dieser G. zeigten d. Hellenen, dass ... ἐν τοιούτοις ὄντες ἐπεδείξαντο οἱ Ἕλληνες ὅτι ...; sie verfolgten d. Feinde hartnäckig; bei dieser G. brechen plötzlich Reiter aus e. Hinterhalte hervor ἐδίωκον τοὺς πολεμίους ἰσχυρότατα· διωκόντων δὲ ἐξαίφνης ἀνίστανται ἱππεῖς ἐξ ἐνέδρας u. dgl. — wenn es d. G. mit sich bringen sollte ἤν πού τι δέῃ (in d. indirecten Rede εἴ τι δέοι). — vgl. Lage.
gelegentlich τυχών, παρατυχών, παραπεσών 3.; = beiläufig: πάρεργος 2. — *adv.* ὅταν καιρὸς παραπέσῃ (ὁπότε καιρὸς παραπέσοι), ὅταν τύχῃ (ὁπότε τύχοι), καιροῦ παραπεσόντος; vgl. obenhin.
gelehrig εὐμαθής, εὐάγωγος 2.; θυμόσοφος 2. (auch v. Thieren, wie συνετός 3.). — g. sein εὐμαθῶς ἔχειν. [σοφον.
Gelehrigkeit ἡ εὐμάθεια u. -θία; τὸ θυμό-
Gelehrsamkeit 1) als Eigenschaft: ἡ πολυμάθεια (u. -θία); ἡ τῶν γραμμάτων ἐμπειρία; ἡ παιδεία; ἡ σοφία. — e. Probe seiner G. ablegen πεῖραν διδόναι τῆς παιδείας, ἐπιδείκνυσθαι τὴν παιδείαν. — Liebe zur G., Streben nach G. ἡ φιλοσοφία. — 2) die gelehrte Wissenschaft: τὰ γράμματα, τὰ μαθήματα, ἡ παιδεία, σοφία, φιλοσοφία.
gelehrt 1) Gelehrsamkeit besitzend: πολυμαθής 2.; πεπαιδευμένος 3.; εὐπαίδευτος 2.; ἔμπειρος (2.) τῶν γραμμάτων; δεινὸς (3.) τὰ γράμματα; σοφός 3., φιλόσοφος 2. — g. Rede λόγος σοφός. — g. Ohren ὦτα πεπαιδευμένα. — e. g. Brief ἐπιστολὴ εὐπαίδευτος. — e. g. Miene annehmen τὴν ὀφρῦν (τὰς ὀφρῦς) ἀνασπᾶν od. αἴρειν. — 2) d. Gelehrsamkeit betreffend: σχολαστικός 3. (z. B. σύλλογος); μουσικός 3. — Liebe zu g. Studien u. d. g. Studium selbst ἡ φιλοσοφία; e. g. Studium betreiben φιλοσοφεῖν, φιλολογεῖν (letzteres bes. auch: e. g. Gespräch führen); der, welcher e. g. Studium betreibt ὁ φιλόσοφος, φιλόλογος (letzteres auch bes.: e. Freund v. g. Gesprächen); d. Freude an g. Gesprächen u. d. g. Gespräch selbst ἡ φιλολογία. — g. Schule etwa τὸ μουσεῖον.
Gelehrte, der, ὁ σοφός, φιλόσοφος; seit d. alexandrinischen Zeit ὁ φιλόλογος, γραμματικός (Kenner d. Sprache u. Literatur); ὁ σοφιστής

(der zugleich als Lehrer, bes. der Beredsamkeit auftritt); ὁ σχολαστικός (bes. m. übler Nebenbedeutung: „Pedant"). — d. grössten G. οἱ ἐπὶ σοφίᾳ πρωτεύοντες. — d. berühmtesten G. οἱ πλεῖστον εὐδοκιμήσαντες ἐπὶ σοφίᾳ.

Geleise ἡ τροχιά. — bildl. in's rechte G. bringen εὐτρεπίζειν τι. — im rechten G. sein ὀρθῶς ἔχειν. — in's alte G. zurückkehren, wieder in's G. kommen εἰς τὸν συνήθη τρόπον ἐπανελθεῖν.

Geleit 1) Begleitung: ἡ παρα-, προ-πομπή (als Zeichen d. Ehre, wie zum Schutze); poet. u. sp. ἡ πομπή. — Jmd. d. G. geben παρα-, προ-πέμπειν τινά, παραπέμπειν τινὶ παραπομπήν. — sind es „d. begleitenden Personen" οἱ προπομποί. — Jmd. sicheres G. geben ἄδειαν (ἀσφάλειαν) διδόναι, παρέχειν (u. *M.*) τινί; sp. πομπὴν μετ' ἀσφαλείας παρέχειν. — sicheres G. bekommen ἀδείας τυγχάνειν, ἄδειαν λαμβάνειν. — unter sicherem G. ἐν ἀδείᾳ, ἐπ' ἀδείας. — Jmd. d. letzte G. geben προπέμπειν τινὰ τελευτήσαντα, ἀκολουθεῖν τινι πρὸς τὸν τάφον. — 2) e. Art Zoll: τὸ τέλος.

geleiten ἡγεῖσθαί τινι, ἄγειν od. κομίζειν τινά (Jmd. führen); παρα-, προ-πέμπειν τινά (zur Ehrenbezeugung, wie zum Schutze). — Jmd. zum Grabe g. = ihm d. letzte Geleite geben.

Geleiter ὁ προπομπός od. *part.* v. geleiten.

Geleitsbrief τὸ δίπλωμα sp.

Geleitseinnahme ἡ τελωνία.

Geleitseinnehmer ὁ τελώνης.

Geleitshaus τὸ τελώνιον.

gelenk, s. gelenkig.

Gelenk ὁ ἁρμός, seltner ἡ ἁρμονία, ἁρμογή; ὁ γίγγλυμος; ἡ συμβολή. — am animal. Körper ἡ διαφυή, τὸ ἄρθρον, ἡ συμβολή, auch ὁ ἁρμός (Schultergelenk), ὁ γίγγλυμος (G. am Ellenbogen u. Oberarm); ὁ κόνδυλος (bes. an d. Fingern). — d. Verbindung der Glieder durch G. ἡ διάρθρωσις.

gelenkig εὐκίνητος 2., ἐλαφρός 3., ὑγρός 3., [ὑγρομελής 2.

Gelenkigkeit ἡ ἐλαφρότης, ὑγρότης, sp. εὐκινησία, ὑγρομέλεια, auch ἡ διάρθρωσις.

Gelenkknochen (der mittlere G. d. Fingers) ὁ [κόνδυλος.

gelenklos ἄναρθρος 2.

Gelichter ὁ θίασος. — Leute v. deinem Gelichter τοῦ σοῦ θιάσου τινές. — du u. Leute v. deinem G. σὺ καὶ ὅσοι τοιοῦτοι od. ὅσοι συνθιασῶταί σου.

geliebt ἐρώμενος 3. (v. geschlechtlicher Liebe); ἀγαπητός 3., φίλος 3., προσφιλής 2. — der Geliebte ὁ ἐρώμενος; die Geliebte ἡ ἐρωμένη. — τὰ παιδικά (der g. Knabe; selten u. ungew. „das g. Mädchen").

gelinde μαλακός 3. (z. B. αὔρα u. übtr. ζημία); πρᾶος, πραεῖα, πρᾶον (sanft, mild) u. μέτριος 3. u. 2. (mässig, beide eig. u. übtr.); ἤπιος 3. (z. B. πνῖγος, πυρετός); ἁπαλός 3. (z. B. πῦρ sp.); λεῖος 3. (z. B. πνεῦμα); ἀμβλύς 3. (z. B. βήξ sp.); ἐλαφρός 3., ἐπιεικής, προσηνής 2. (übtr.). — gelindere Saiten aufziehen ὑφίεσθαι, καθυφίεσθαι, μαλακὸν ἐνδιδόναι; πρᾳότερον ἀποκρίνεσθαι (im Reden).

Gelindigkeit ἡ μαλακότης, πρᾳότης, μετριότης, ἐπιείκεια.

gelingen γίγνεσθαι εἰς δέον, γίγνεσθαι od. χωρεῖν κατὰ νοῦν, προχωρεῖν, καλῶς ἀπο-, συμβαίνειν, κατορθοῦσθαι *P.* — es gelingt mir etw. προχωρεῖ μοί τι, κατορθῶ τι, ἔν τινι u. περί τι, τυγχάνω τινός; auch εὐπραγῶ, εὖ od. ἀγαθὰ πράττω, εὐημερῶ; es gelingt mir etw. nicht ἀποτυγχάνω, ἀτυχῶ, ἁμαρτάνω τινός, auch κακοπραγῶ, κακῶς πράττω. — e. gelungenes Werk ἔργον εὖ εἰργασμένον, sp. τὸ κατόρθωμα, ἡ κατόρθωσις.

Gelingen, das, ἡ κατόρθωσις; ἡ ῥᾳστώνη; ἡ εὐπραγία, εὐπραξία; ἡ εὐημερία, sp. τὸ εὐημέρημα; od. Verba. — wenn Gott G. gibt ἢν θεὸς ἀγαθὸν τέλος διδῷ.

Gelispel ὁ ψιθυρισμός, τὸ ψιθύρισμα.

gellen ἠχεῖν (λιγυρόν). — mir gellen noch d. Ohren v. etw. διατεθρύλημαι τὰ ὦτα ὑπό τινος. —

gellend λιγυρός 3. (poet. u. sp. λιγύς, λίγεια, λιγύ).

Gellen, das, ἡ λιγυρὰ ἠχή, ὁ λιγυρὸς ἦχος.

geloben πίστιν διδόναι od. παρέχειν, ὑπισχνεῖσθαι, καθυπισχνεῖσθαι, ἐγγυᾶσθαι m. *inf. fut.* od. *aor.* — einer Gottheit εὔχεσθαι, προσεύχεσθαι θεῷ m. *inf. fut.*

Gelöbniss ἡ ὑπόσχεσις, ἐγγύη; ἡ εὐχή.

gelt! = nicht wahr? w. s.

Gelte ὁ γαυλός.

gelten 1) e. Werth haben: *a*) übh. τιμὴν od. ἀξίαν ἔχειν, ἐν τιμῇ εἶναι; ἄξιον εἶναι m. *gen.*, δύνασθαι, z. B. ein Kyzikenisches Goldstück galt dort 28 Drachmen ὁ Κυζικηνὸς ἐδύνατο ἐκεῖ κη' δραχμάς. — wie viel gilt d. Getreide? πόσου od. πῶς ὁ σῖτος ὤνιος; πόσου πιπράσκεται ὁ σῖτος; πόση ἡ τιμὴ τοῦ σίτου; — gleich viel g. τὴν αὐτὴν ἔχειν δύναμιν. — was gilt d. Wette? περὶ τοῦ περιδίδοσαι; *b*) e. bestimmten Werth haben, gültig sein: δόκιμον εἶναι, sp. διαχωρεῖν (v. Gelde); νόμιμον εἶναι, νομίζεσθαι *P.* (v. Gelde, Gebräuchen, Gesetzen u. dgl.); κύριον εἶναι, κρατεῖν, ἰσχύειν (v. Gesetzen, Sitten, Meinungen u. s. w.), auch ὁμολογεῖσθαι *P.*, z. B. bei uns gilt nicht das gleiche Recht wie bei euch οὐ ταὐτὰ παρ' ὑμῖν καὶ ἐν ἡμῖν δίκαια ὁμολογεῖται. — etw. g. lassen δοκιμάζειν od. ἐγκρίνειν τι; ἀποδέχεσθαι, προσίεσθαί τι. — etw. geltend machen προΐσχεσθαί τι; seine Ansprüche, sein Recht auf etw. geltend machen ἀντέχειν περί τινος, ἀντι-, μετα-ποιεῖσθαί τινος, δικαιοῦν od. ἀξιοῦν ἔχειν (λαμβάνειν) τι, auch neg. οὐχ ὑφίεσθαι τῶν ἑαυτοῦ δικαίων; gegen Jmd. im Processwege ἐπεξιέναι (-έρχεσθαι) τινί τινος. *c*) Bedeutung, Ansehen haben: δύνασθαι, ἰσχύειν; viel, mehr, sehr viel g. μέγα, μεῖζον, μέγιστον δύνασθαι; πολλοῦ u. s. w. ἄξιον εἶναι; wenig g. μικρὸν ἰσχύειν, nichts g. οὐδὲν ἰσχύειν, ἐν οὐδενὸς μέρει εἶναι, οὐδενὸς ἄξιον εἶναι, οὐδαμοῦ φαίνεσθαι (*aor. P.*). — es gilt Jmd. viel bei mir μέγα δύναταί τις παρ' ἐμοί, περὶ πολλοῦ ποιοῦμαί τινα, πολὺ νέμω τινί. — bei Jmd. mehr g. μείζω μοῖραν καὶ τιμὴν ἔχειν παρά τινι, ἐν μοίρᾳ εἶναι μείζονι παρά τινι, τιμιώτερον εἶναι παρά τινι. — sehr viel bei Jmd. g. πλεῖστα ἰσχύειν od. μάλιστα εὐδοκιμεῖν παρά τινι. — am meisten bei Jmd. g. πρωτεύειν παρά τινι. — er gilt bei mir nichts ἐν οὐδενὶ λόγῳ ποιοῦμαι αὐτόν. — bei Jmd. weniger g. μεῖον ἔχειν παρά τινι. — gleich g. ἐν ἴσῳ εἶναι, τὴν αὐτὴν δύναμιν ἔχειν. — das gilt mir gleich οὐδὲν ἔμοιγε διαφέρει, ὀλίγον od. οὐδέν μοι μέλει. *d*) für etw. g. = gehalten werden: δοκεῖν εἶναί τι, νομίζεσθαί (*P.*) τι, auch ὁμολογεῖσθαι *P.*, z. B. er gilt allgemein als e. wackrer Mann παρὰ (ἐν) πᾶσιν ὁμολογεῖται ἀνὴρ γενναῖος. — ἐν χώρᾳ τινὸς εἶναι, z. B. für e. Sklaven g. ἐν ἀνδραπόδων χώρᾳ εἶναι. — für nichts g. ἐν οὐδεμιᾷ χώρᾳ εἶναι. — bei Jmd. für e. Thoren g. μωρίαν (ἄνοιαν) ὀφλισκάνειν παρά τινι. *e*) als gälte es einen Scherz: ὡς ἐν παιδιᾶς μοίρᾳ. — 2) Jmd. g. = auf ihn gerichtet sein: τείνειν εἴς od. πρός τινα, εἶναι πρός τινα od. κατά τινος, προσήκειν

τινί; auch λέγεσθαι (*P.*) εἴς τινα (v. Worten). — 3) v. etw. g. = Anwendung auf etw. finden: λέγεσθαι (*P.*) περί τινος. — dies gilt auch hievon ταῦτα ἔξεστιν εἰπεῖν καὶ περὶ τούτων. — 4) es gilt = es kommt darauf an: δεῖ τινος od. δεῖ (χρὴ) εἶναί τι, z. B. jetzt gilt es zu reden νῦν δεῖ λόγων od. λέγειν; auch νῦν ἀκμὴ λόγων od. λέγειν; νῦν καιρός ἐστι od. καιρὸν ἔχει λέγειν, νῦν ὥρα λέγειν. — es gilt e. Kampf auf Leben od. Tod περὶ ψυχῆς ὁ ἀγών ἐστιν. — es gilt d. Höchste u. Theuerste περὶ od. ὑπὲρ τῶν φιλτάτων καὶ μεγίστων (auch περὶ τοῖς φιλτάτοις) κινδυνεύομεν u. dgl. m. — gerade jetzt gilt es d. grösste Vorsicht τὰ πάντα νῦν ἀκμάζει ἐπιμελείας δεόμενα.

Geltung ἡ δύναμις, ἀξίωσις (v. Pers. u. Sachen); τὸ ἀξίωμα, ἡ τιμή, ἡ δόξα (v. Pers.). — G. haben δύναμιν od. ἀξίωμα ἔχειν, ἐν ἀξιώματι εἶναι, vgl. gelten. — G. erlangen ἀξιώματος, δόξης τυγχάνειν, γίγνεσθαι ἐν ἀξιώματι u. dgl. — G. verschaffen, zur G. bringen δύναμιν od. ἀξίωμα παρέχειν τινί, καθιστάναι τινὰ εἰς ἀξίωμα, ποιεῖν τινα δύνασθαι od. ἰσχύειν u. dgl. m.

Gelübde ἡ εὐχή (gew. *pl.*). — e. G. thun εὔχεσθαι od. εὐχὰς ποιεῖσθαι m. *inf. fut.* od. *aor.* — sein G. lösen εὐχὰς ἀποδιδόναι.

Gelüste, das, ἡ ἐπιθυμία, ἔφεσις, ὁ ἔρως, ωτος (nach etw. τινός); ἡ κίττα, sp. κίττησις (bes. v. d. G. schwangerer Frauen). — e. G. haben, s. das f. W.

gelüsten, es gelüstet mich nach etw. ἐπιθυμεῖν, ἐφίεσθαι, ἐρᾶν τινος od. *inf.*; κιττᾶν τινος od. m. *inf.* — sich g. lassen τολμᾶν od. προσίεσθαι m. *inf.*

gemach σχολῇ, κατὰ σχολήν, βραδέως, ἠρέμα, ἡσύχως, ἡσυχῇ, καθ' ἡσυχίαν, κατὰ μικρόν, κατὰ βραχύ.

Gemach τὸ οἴκημα, δωμάτιον; ὁ θάλαμος (bes. Schlafgemach); ἡ δίαιτα sp. — heimliches G. ἡ ἄφοδος, ὁ ἀπόπατος.

gemächlich *a*) bequem: ἐπιτήδειος 3. u. 2., εὔθετος 2.; εὐμαρής, εὐχερής 2.; auch καλός 3., χρήσιμος 2. *b*) langsam: βραδύς 3., σχολαῖος 3.; μαλακός (μαλθακός) 3., ῥᾴθυμος 2. — *adv.*, s. gemach. — e. g. Leben führen μαλακίζεσθαι (μαλθακίζεσθαι), ῥᾳθυμεῖν, ῥαστωνεύειν.

Gemächlichkeit *a*) ἡ ἐπιτηδειότης, εὐμάρεια, εὐχέρεια. *b*) ἡ βραδυτής (-ῆτος), σχολαιότης; ἡ μαλακία (μαλθακία), ῥᾳθυμία, ῥαστώνη.

Gemächt τὸ αἰδοῖον.

Gemächte, s. Machwerk.

Gemälde ἡ γραφή, τὸ γράμμα, ἡ ζωγραφία, τὸ ζωγράφημα, ἡ εἰκών, όνος; ὁ πίναξ, κος (eig. „G. auf Holz", dann allg., *dem.* τὸ πινάκιον); τὸ ἔγκαυμα (enkaustisches G.); τὸ σκιαγράφημα (perspektivisches G.). [συναγωγή.

Gemäldesammlung ἡ πινακοθήκη; ἡ γραφῶν

gemäss 1) *adj.* ἀκόλουθος 2. (m. *gen.* u. *dat.*), ἐπιτήδειος 3. u. 2. (m. *dat.*), οἰκεῖος 3. (m. *dat.*), ἄξιος 3. (m. *gen.*); προσήκων, πρέπων, συναρμόττων 3. (m. *dat.*). — 2) *adv.* ἑπομένως (m. *dat.*), ἐχομένως (m. *gen.*), ἀκολούθως (m. *gen.* u. *dat.*); auch κατά m. *acc.*, ἐκ m. *gen.*, seltner πρός m. *acc.*, σύν m. *dat.*; nicht selten auch der blosse *dat.*, z. B. g. der Natur κατὰ τὴν φύσιν; g. den gegenwärtigen Umständen ἐκ τῶν παρόντων; gemäss dem Verdienste κατ' od. πρὸς τὴν ἀξίαν; g. dem Gesetze seine Stimme abgeben σὺν τῷ νόμῳ τὴν ψῆφον τίθεσθαι; g. dieser Rede wäre d. Tod e. Scheidung d. Leibes u. d. Seele τούτῳ τῷ λόγῳ θάνατος ἂν εἴη χωρισμὸς ψυχῆς καὶ σώματος. — ist es „angemessen, passend": προσηκόντως, πρεπόντως τινί; ἀξίως τινός. — ganz der Sache g. οὐκ ἀπὸ τοῦ πράγματος.

Gemässheit; in G. s. gemäss 2).

gemässigt μέτριος 3.; εὔκρατος 2. (bes. v. Klima). — g. Klima ἡ εὐκρασία (τῶν ὡρῶν, τοῦ ἀέρος). — e. Ort m. g. Klima τόπος εὔκρατος, εὐκραής; an Orten m. g. Klima ἐν τοῖς εὐκρᾶσι, ἐν ταῖς εὐκρασίαις.

Gemäuer τὰ τείχη, τὸ τείχισμα.

Gemahl ὁ ἀνήρ, ἀνδρός; mehr poet. ὁ γαμέτης.

Gemahlin ἡ γυνή, γυναικός, ἡ γαμετὴ γυνή; mehr poet. ἡ δάμαρ, αρτος; als Neuvermählte ἡ νύμφη. [sähe ich δοκῶ μοι ὁρᾶν.

gemahnen, s. erinnern. — es gemahnt mich als

gemein 1) gemeinsam, gemeinschaftlich: κοινός 3., auch δημόσιος 3. (opp. ἴδιος 3.; d. Volke od. Staate gehörig). — Allen g. κοινὸς (3.) πᾶσι u. πάντων. — etw. m. Jmd. g. haben κοινωνεῖν u. ἐπικοινωνεῖν τινί τινος, κοινόν τι ἔχειν τινί, συμμετέχειν τινί τινος, auch ὑπάρχει μοι ταὐτόν τινι, πάσχω ταὐτόν τινι. — d. g. Wesen τὸ (τῆς πόλεως) κοινόν, τὸ δημόσιον. — d. g. Wol τὸ κοινὸν ἀγαθόν. — zum g. Gebrauch, zum g. Besten εἰς τὸ κοινόν. — d. Monarchie ist dem g. Besten mehr zuträglich ἡ μοναρχία κοινοτέρα ἐστίν. — 2) gewöhnlich: κοινός, νομιζόμενος 3.; auch m. übler Nebenbedeutung = trivial, gering, schlecht: ἀγοραῖος 2., ἀγελαῖος 3., δημώδης 2., θητικός 3., πεζός 3., πρόχειρος 2., φαῦλος, μοχθηρός 3., ὁ τυχών u. s. w., vgl. „der Erste der Beste" unter „erste" a. E. — e. g. Mann ἀνὴρ ἐκ δήμου, δημότης, δημοτικός, ἰδιώτης; d. g. Volk οἱ δημόται, δημοτικοί, ἰδιῶται, τὸ δημοτικόν, auch ὁ δῆμος, sp. οἱ δημώδεις, τὸ δημῶδες πλῆθος; d. g. Haufe τὸ πλῆθος, οἱ πολλοί, ὁ πολὺς ὅμιλος. — e. g. Soldat ὁ ἰδιώτης, die g. Soldaten ὁ δῆμος τῶν στρατιωτῶν; als g. Soldat dienen ἐν τῷ πλήθει τῶν στρατιωτῶν εἶναι. — e. g. Athener πολλοστὸς ὢν τῶν Ἀθηναίων. — Wettkampf m. Leuten aus d. g. Volke δημοτικὴ ἀγωνία. — v. g. Abkunft δημοτικός 3., ἀνελεύθερος 2. — e. g. (ungebildeter, niedrig denkender) Mensch ἄνθρωπος ἄγροικος, ἀπειρόκαλος, φορτικός, ἀνελεύθερος; ὁ βωμολόχος, ὁ συρφετός. — g. Ausdruck ἰδιωτικὴ od. κοινὴ λέξις; g. (pöbelhafte) Rede λόγοι φορτικοί, sp. λαλιὰ χυδαῖος; d. Sprache des g. Lebens ἡ κοινὴ διάλεκτος; in der Sprache des g. Lebens κοινόλεκτος 2. sp. — g. Handwerk, s. Handwerk. — g. Schrift τὰ δημώδη γράμματα (im Gegens. zu d. heiligen od. Hieroglyphenschrift). — d. g. Palme ἡ χυδαῖος φοῖνιξ. — was das g. Volk Musenkunst nennt ἡ δημώδης μουσική. — g. Wesen, s. Gemeinheit. — sich g. betragen ἀγροικίζεσθαι, ἀπειροκαλεύεσθαι. — 3) = vertraut: συνήθης 2., οἰκεῖος 3. — sich m. Jmd. g. machen συγκεράννυσθαί (*P.*) τινι; προσομιλεῖν τινι; φθείρεσθαι πρός τινα (im üblen Sinne).

Gemeinde, Gemeine τὸ κοινόν; ὁ δῆμος, ἡ πόλις. — auf Kosten der G. δημοσίᾳ, ἀπὸ κοινοῦ.

gemeinfasslich δῆλος (3.) καὶ ἰδιώτῃ, εὐμαθής 2., κοινός 3. [διάνοια, ἡ ὁμόνοια.

Gemeingeist ἡ κοινὴ γνώμη, ἡ αὐτὴ ἁπάντων

Gemeingut τὸ κοινὸν ἀγαθόν; τὸ δημόσιον. — e. G. sein κοινὸν εἶναι πάντων od. πᾶσιν, auch bloss πάντων εἶναι. — etw. zum G. machen ποιεῖν τι πάντων κοινὸν εἶναι, ποιεῖν πάντας μετέχειν τινός, εἰς τὸ μέσον (κατα)τιθέναι.

Gemeinheit 1) das Mehreren Gemeinsein: ἡ κοινότης, τὸ κοινόν. — 2) gemeines Wesen: ἡ ἀγροικία, ἀπειροκαλία, φορτικότης, ἀνελευθερία, βωμολοχία; G. d. Ausdruckes ἡ χυδαιότης sp.

gemeiniglich τὰ πολλά, τὰ πλεῖστα, ὡς ἐπὶ τὸ πολύ, ὡς ἐπὶ πλεῖστον, ὡς (τὸ) ἐπὶ πᾶν, μάλιστα.
gemeinnützig δημωφελής, sp. κοινωφελής 2., δημοτικός 3., auch umschr. τὸ κοινὸν (τὴν πόλιν) ὠφελῶν 3., κοινῇ πᾶσι συμφέρων 3.
Gemeinnützigkeit τὸ δημωφελές, sp. ἡ κοινωφελία.
Gemeinnutzen τὸ κοινὸν ἀγαθόν.
Gemeinplatz (in der Rhetorik) ἡ χρεία, ὁ κοινὸς τόπος; sonst λόγος πολυπάτητος, καθημαξευμένος.
gemeinsam κοινός 3.; *adv.* κοινῇ, κοινῶς. — Daneben gebraucht man auch Compos. m. κοινο-, z. B. sich g. berathschlagen κοινοβουλεῖν, d. g. Erziehung betreffend κοινοτροφικός 3. u. dgl., oder bes. häufig m. σύν, z. B. sich g. üben συγγυμνάζεσθαι u. dgl. — m. Jmd. g. Sache machen κοινῇ πράττειν, συμπράττειν, sp. κοινοπραγεῖν τινι. — g. Handeln ἡ κοινοπραγία sp.
gemeinschädlich κοινοβλαβής 2. sp.; besser κοινῇ od. πάντας βλάπτων 3., πᾶσι κακός 3.
Gemeinschaft ἡ κοινωνία, ἐπικοινωνία, κοινώνησις, μετουσία; τὸ κοινώνημα (gew. *pl.*), ἡ συνουσία, συνήθεια, ὁμιλία (bes. Umgang, Verkehr); ἡ συνέχεια (Zusammenhang). — G. m. Jmd. ἡ τινος od. πρός τινα κοινωνία. — zur G. gehörig κοινωνικός 3. — G. m. Jmd. haben κοινοῦσθαι (*P.*), χρῆσθαι, συνεῖναί τινι. — in G. m. Jmd. etw. haben κοινωνεῖν, ἐπι-, συγ-κοινωνεῖν, κοινοῦσθαι τινί τινος. — keine G. m. Jmd. haben οὐδὲν κοινὸν ἔχειν τινί, ἀπέχεσθαι τῆς πρός τινα συνουσίας, ἄμικτον εἶναι πρός τινα. — in G. m. Jmd. kommen προσ-, συμ-μιγνύναι τινί. — aus d. G. zweier verschiedener Gattungen entsprungen κοινογενής 2. — in G. m. Jmd. thun κοινῇ, μετά τινος, σύν τινι πράττειν τι, συμπράττειν τινί τι.
gemeinschaftlich κοινός 3. (m. *gen.* u. *dat.*); *adv.* κοινῇ, κοινῶς. — etw. g. m. Jmd. besprechen, verabreden κοινολογεῖσθαί τινι (πρός τινα) περί od. ὑπέρ τινος; g. berathschlagen κοινῇ od. μετ' ἀλλήλων βουλεύεσθαι. — g. Besprechung ἡ κοινολογία. — d. g. Plan der Athener u. Lakedaimonier τό τε Ἀθηναίων καὶ Λακεδαιμονίων κοινῇ διανόημα. — g. Mahle τὰ συσσίτια (vgl. τὰ φιδίτια). — vgl. gemeinsam u. gemein.
Gemeinsinn, s. Gemeingeist.
gemeint; ich bin g. δοκεῖ μοι, βούλομαι, διανοοῦμαι (*DP.*), γνώμην ποιοῦμαι od. ἔχω. — damit bin ich g. εἰς ἐμὲ εἴρηται od. τείνει τοῦτο. — d. Wort ist gut g. εὔνους ἐστὶν οὗτος ὁ λόγος. — verzeih' mir! es ist nicht übel g. σύγγνωθί μοι· οὐ γὰρ ἐπὶ τῇ βλάβῃ σου εἴρηται τοῦτο u. dgl.
gemeinverständlich, s. gemeinfasslich.
Gemeinwesen τὸ (τῆς πόλεως) κοινόν, τὸ δημόσιον.
Gemeinwol τὸ κοινὸν od. τῆς πόλεως ἀγαθόν.
Gemenge, Gemengsel ὁ συρφετός, φορυτός, auch ὁ ὄχλος.
gemessen *a*) eig. μεμετρημένος 3.; s. messen. *b*) übtr. im g. Schritt βάδην; auch ἐν ῥυθμῷ, κατὰ ῥυθμόν (nach d. Takte). — g. Befehl geben σαφῶς, διαρρήδην προστάττειν, παραγγέλλειν; g. Befehl zu etw. haben ἐπὶ ῥητοῖς ποιεῖν τι. — g. auch = in Ordnung, w. s.
Gemessenheit ἡ τάξις, ὁ κόσμος; vgl. Nachdruck.
Gemetzel ἡ σφαγή, ὁ φόνος. — e. G. anrichten σφαγὴν ποιεῖσθαι; e. grosses G. unter d. Feinden anrichten πολὺν φόνον ποιεῖν τῶν πολεμίων. — es wird e. grosses G. angerichtet γίγνεται πολὺς φόνος od. (trivial) ζωμός.
gemiethet μισθωτός, μεμισθωμένος 3.
Gemisch τὸ μῖγμα, σύμμιγμα; vgl. Gemenge.
gemischt, s. mischen. — es war e. g. Gesellschaft παρῆσαν δὲ καὶ δημοτικοί τινες, τῶν δὲ συνόντων ἦσαν καὶ ἰδιῶταί τινες u. dgl.
Gemme ἡ γλυπτὴ λίθος.
Gemsbock ὁ ὀρεινὸς αἴξ, αἰγός.
Gemse ἡ ὀρεινὴ αἴξ, αἰγός.
Gemsenjäger ὁ τῶν ὀρεινῶν αἰγῶν θηρατής; ὁ αἰγοθήρας.
Gemsenjagd ἡ τῶν ὀρεινῶν αἰγῶν θήρα.
Gemüll ὁ χλῆδος; τὰ συντετριμμένα, συντεθραυσμένα; vgl. Gemenge.
Gemüse τὸ λάχανον (gew. *pl.*); sp. τὸ λαχάνευμα. — zum G. gehörig λαχανηρός, λαχανικός 3. — G. bauen auf e. Felde λαχανεύειν ἀγρόν; G. abschneiden λαχανίζεσθαι; d. Abschneiden des G. ὁ λαχανισμός. — G. essen λαχανεύειν sp.; d. Essen v. G. ἡ λαχανοφαγία. — m. G. handeln λάχανα πωλεῖν.
Gemüsearten, die, τὰ λάχανα, τὰ λαχάνων εἴδη.
gemüseartig λαχανώδης 2.
Gemüsebau ἡ λαχανεία sp.
Gemüsegärtner ὁ λαχανεύς sp.
Gemüsegarten ὁ κῆπος λαχανείας.
Gemüsehändler ὁ λαχανοπώλης.
Gemüsehändlerin ἡ λαχανόπωλις, ιδος, λαχανοπωλήτρια.
Gemüsehandel ἡ λαχανοπωλία.
Gemüsemarkt τὰ λάχανα.
Gemüseschüssel ἡ λαχανοθήκη.
gemüssigt sehen, sich, ἀναγκάζεσθαι, καταναγκάζεσθαι *P.*
Gemüth ὁ θυμός, ἡ ψυχή, auch ἡ γνώμη. — ruhiges, heiteres G. ἡ εὐθυμία; trauriges, düsteres G. ἡ δυσθυμία, βαρυθυμία; e. Mann heiteren, düsteren Gemüthes ἀνὴρ εὔθυμος, βαρύθυμος (δύσθυμος); v. heiterem, düsterem G. sein εὐθυμεῖν, βαρυθυμεῖν, δυσθυμεῖν (u. *M.*). — d. G. Jmds. aufheitern εὐφραίνειν τὴν ψυχήν τινος, εὐθυμίαν (u. -ίας) παρέχειν τινί; das G. erheiternd γλυκύθυμος 2. — Jmd. etw. zu G. führen παραινεῖν τινί τι, νουθετεῖν τινά τι, stärker ἐπισκήπτειν τινί τι. — sich etw. zu G. führen βαρέως od. χαλεπῶς φέρειν τι u. ἐπί τινι, ἄχθεσθαί (*P.*) τινι u. ἐπί τινι. — im G. erwägen etw. ἐνθυμεῖσθαί (*DP.*) τι. — Jmd. sein G. zuwenden ὀργὴν ἐπιφέρειν τινί. — Schwäche des G. gegenüber d. Lockungen der Sinne ἡ πρὸς τὰς ἡδονὰς γλυκυθυμία.
gemüthlich 1) d. Gemüth betreffend: ψυχικός 3. od. gew. durch τῆς ψυχῆς, ἐν τῇ ψυχῇ, κατὰ τὴν ψυχήν, z. B. g. Aufregungen τὰ ψυχικὰ od. τὰ τῆς ψυχῆς πάθη. — 2) Gemüth besitzend: εὐήθης 2. — 3) behaglich: καταθύμιος 2.; vgl. behaglich 1).
Gemüthlichkeit 1) v. Pers.: ἡ εὐήθεια; sp. γλυκυθυμία. — 2) v. Sachen: τὸ κεχαρισμένον, ἡδύ; ἡ χάρις, ιτος, ἡ ἡδονή.
Gemüthsart ὁ τρόπος (gew. *pl.*); τὸ ἦθος, ἡ φύσις; mehr poet. ἡ ὀργή.
Gemüthsbeschaffenheit ἡ τῆς ψυχῆς ἕξις; ἡ διάθεσις.
Gemüthsbewegung τὸ (τῆς ψυχῆς) πάθος, ἡ ὀργή; sp. ἡ περιπάθησις. — in heftiger G. ἐμπαθής, περιπαθής 2., in heftiger G. sein ἐμπαθῶς, περιπαθῶς ἔχειν; περιπαθεῖν (sp.).
gemüthskrank νοσῶν (3.) τὴν ψυχήν; s. schwermüthig, melancholisch, wahnsinnig.
Gemüthskrankheit ἡ τῆς ψυχῆς νόσος, τὸ τῆς ψυχῆς πάθος; vgl. Schwermuth, Melancholie, Wahnsinn.
Gemüthsruhe ἡ εὐθυμία, ἡ ἀνεκπληξία, ἀταραξία, ἀπάθεια. — m. G. πρᾴως, ἀλύπως.
Gemüthsstimmung ἡ τῆς ψυχῆς διάθεσις. — Jmd. in e. G. versetzen διατιθέναι τινά m. *adv.*: in e. G. gerathen διατίθεσθαι *P.*; in e. G. sein διακεῖσθαι u. ἔχειν m. *adv.*

Gemüthszustand ἡ τῆς ψυχῆς ἕξις; vgl. d. vhg. W.

Gemurmel ὁ θόρυβος, θροῦς; sp. ὁ γογγυσμός, ἡ γόγγυσις, ὁ τονθορυσμός; häufig durch Verba, vgl. murmeln. — d. G. e. Baches τὸ κάχλασμα od. besser Verba.

gen, s. nach 1) *a*).

genäschig, s. naschhaft.

genau 1) v. Sachen: bestimmt, sicher, zuverlässig: ἀκριβής, σαφής 2., πιστός 3.; sorgfältig, pünktlich: ἀκριβής, ἐπιμελής 2.; allzu g. περίεργος 2. — g. im Reden, Erzählen u. s. w. ἀκριβολόγος 2.; g. im Reden sein, g. erzählen, es g. nehmen ἀκριβολογεῖσθαι u. διακριβολογεῖσθαί τι u. περί τινος. — d. allergenaueste Diät ἡ ἀκριβὴς σφόδρα καὶ δι᾽ ὄνυχος λεγομένη δίαιτα. — es ist etw. auf's Genaueste ausgearbeitet ἐκμέμακταί τι εἰς ὄνυχα. — g. untersuchen od. erörtern διακριβοῦν (u. *M.*) τι, ἀκριβῶς ἐξετάζειν τι. — etw. g. kennen ἀκριβοῦν τι u. περί τινος, διακριβοῦν τι, ἀκριβῶς od. σαφῶς εἰδέναι, ἐξεπίστασθαι. — g. Nachricht v. etw. geben σαφῶς ἀπαγγέλλειν τι. — d. Genaue erfahren wollen βούλεσθαι εἰδέναι τὸ σαφές. — d. Vorgang g. kennen lernen τὴν τῶν πραχθέντων ἀκρίβειαν μανθάνειν. — g. Untersuchung ἡ ἀκριβολογία. — m. g. Noth μόγις, χαλεπῶς καὶ μόγις, sp. ἀκριβῶς καὶ μόλις. — man muss es nicht so g. nehmen οὐ δεῖ ἀκριβολογεῖσθαι περὶ τούτου, οὐκ ἀκριβολογητέον τοῦτο, auch συγγιγνώσκειν δεῖ (man muss verzeihen). — er nimmt es sehr g. χαλεπός ἐστι κριτής. — g. genommen ἀποτόμως. — g. passend od. anschliessend (v. e. Kleide) ἀκριβής 2. — als *adv.* ἀκριβῶς, δι᾽ ἀκριβείας, μετ᾽ ἀκριβείας, εἰς od. πρὸς τὴν ἀκρίβειαν, εἰς τὸ ἀκριβές; sehr g. ἀκριβέστατα, διὰ πάσης ἀκριβείας, μετὰ πλείστης ἀκριβείας. — 2) v. Pers.: *a*) sorgfältig, pünktlich: ἀκριβής, ἐπιμελής 2.; allzu g. λεπτολόγος 2., περίεργος 2. *b*) sparsam: ἀκριβής 2., φειδωλός 3.; zu g. γλίσχρος 3. — *c*) eng verbunden: οἰκεῖος (3.) καὶ συνήθης (2.). — g. Freundschaft ἡ οἰκειότης.

Genauigkeit ἡ ἀκρίβεια, τὸ ἀκριβές; G. im Reden, Erzählen u. s. w. ἡ ἀκριβολογία; allzu grosse G. ἡ λεπτολογία, περιεργία. — G. in Ausgaben ἡ ἀκρίβεια, φειδωλία; zu grosse G. ἡ γλισχρότης. — m. G., m. d. grössten G., s. genau (*adv.*).

Genealoge ὁ γενεαλόγος.

Genealogie ἡ γενεαλογία; = Geschlecht τὸ γένος. — d. G. v. Jmd. ausmitteln γενεαλογεῖν τινα.

genealogisch γενεαλογικός 3.

genehm halten, s. genehmigen. — es ist mir etw. g. φίλον od. προσφιλές ἐστί μοι, δοκεῖ (συνδοκεῖ) od. ἀρέσκει μοί τι.

genehmigen δέχεσθαι, ἀπο-, ἐν-δέχεσθαι; ἐπ-, συν-αινεῖν; δοκεῖ (συνδοκεῖ, ἀρέσκει) μοί τι, sp. εὐδοκεῖ (u. *M.*) μοί τι; κυροῦν, ἐπικυροῦν, κύριον ποιεῖν, ἐπικρίνειν. — nicht g. ἀπογιγνώσκειν, ἀποψηφίζεσθαι.

Genehmigung ἡ κύρωσις, sp. ἐπικύρωσις, συναίνεσις, ἀποδοχή; auch durch Verba, z. B. m. G. d. Vaters συνδόξαν τῷ πατρί.

geneigt 1) eig. ἐπικλινής, κατάντης, καταφερής (κατωφερής), προπετής 2., od. durch d. *part.* v. ῥέπειν, κλίνεσθαι *P.*; auf d. eine od. d. andere Seite g. ἑτεροκλινής 2. — 2) übtr. *a*) Neigung od. Lust zu etw. habend: ἐπιρρεπὴς (2.) εἴς od. πρός τι (sp.); καταφερὴς (κατωφερὴς) (2.) εἴς od. πρός τι; εὐκατάφορος (sp. εὐεπίφορος) (2.) εἴς, πρός od. ἐπί τι, seltner εὔκολος (2.) πρός τι (sämmtl. m. übler Nebenbedeutung: zu etw. Schlimmem); προπετὴς (2.) εἴς, πρός od. ἐπί τι, auch m. *inf.*; πρόθυμος (2.) πρός od. εἴς τι, od. m. *inf.*; ὁρμητικός (3.) πρός τι. — zum Zorne g. ὀργίλος 3., ἀκράχολος 2. — zu Krankheiten g. ἀκροσφαλής 2. — Häufig bildet man auch *adj.* auf -ικός, z. B. zum Kriege, Frieden, zur Liebe g. πολεμικός, εἰρηνικός, ἐρωτικός 3. u. dgl. — g. sein zu etw. ἐπιρρεπῶς, εὐεπιφόρως ἔχειν πρός τι, προπετῶς ἔχειν εἴς od. πρός τι, προθύμως u. ὁρμητικῶς ἔχειν πρός τι; ἐρᾶν u. ἐπιθυμεῖν τινος; προθυμεῖσθαι (*DP.*), διανοεῖσθαι (*DP.*), βούλεσθαι m. f. *inf.* *b*) wolwollend: εὔνους 2., εὐνοϊκός 3., εὐμενής 2., φιλόφρων 2., προσφιλής 2.; ἵλεως, ων (gnädig, bes. v. d. Göttern). — Jmd. g. sein εὔνουν εἶναί τινι, εὐνοϊκῶς ἔχειν τινί u. πρός τινα, εὐνοίᾳ od. φιλίᾳ χρῆσθαι εἴς (περί) τινα, οἰκείως διακεῖσθαι πρός τινα. — sich Jmd. g. machen εὐμενῆ ποιεῖσθαί τινα, ἐξαρέσκεσθαί τινα u. τινι (bes. τοῖς θεοῖς; durch Geschenke τοῖς δώροις); σπουδάζειν περί τινα; οἰκειοῦσθαι, κτᾶσθαι, ἀνακτᾶσθαι, ἀναρτᾶσθαί τινα; εὐμενίζεσθαι, ἱλάσκεσθαι, ἐξιλάσκεσθαί τινα (bes. τοὺς θεούς). — geschickt Jmd. g. zu machen ἐπαγωγός 2. (sp. ἐπαγωγικός 3.) τινος.

Geneigtheit 1) eig. τὸ ἐπικλινές, καταφερές. — 2) übtr. *a*) Neigung, Lust: ἡ προθυμία, προπέτεια, sp. εὐκαταφορία, εὐεπιφορία; ἡ ἐπιθυμία. *b*) Wolwollen: ἡ εὔνοια, εὐμένεια, φιλοφροσύνη, φιλία; ἡ περί τινα σπουδή.

General ὁ ἄρχων, οντος, ὁ ἡγεμών, όνος, ὁ στρατηγός, G. d. Kavallerie ὁ ἵππαρχος, d. Infanterie ὁ πέζαρχος; vgl. Feldherr.

Generalbass, etwa τὰ περὶ τὰς ἁρμονίας.

Generalien τὰ καθ᾽ ὅλου.

Generalissimus, s. Oberfeldherr.

Generalität οἱ ἄρχοντες, αἱ ἀρχαί.

Generalkommando ἡ ἅπαντος τοῦ στρατεύματος ἀρχή.

Generalnenner; alles unter éinen G. bringen πάντα εἰς τὸ αὐτὸ μόριον συνάγειν.

Generalpächter ὁ ἀρχώνης; ὁ πεντηκόσταρχος.

Generalstab οἱ περὶ od. ἀμφὶ τὸν στρατηγόν; οἱ ἐπικαίριοι. — Chef des G. etwa ὁ στρατοπεδάρχης (sein Amt ἡ στρατοπεδαρχία; ihn betreffend στρατοπεδαρχικός 3., sämmtl. sp.).

Generation ἡ γενεά, τὸ γένος. — d. jetzige G. οἱ καθ᾽ ἡμᾶς od. οἱ νῦν ἄνθρωποι. — d. dritte G. ἡ τριγονία. — d. dritte G. erleben εἰς τὴν τριγονίαν τῷ βίῳ κατελθεῖν. — seit drei G. ἐκ τριγονίας.

generell γενικός, auch περιεκτικός 3.

genesen ῥαΐζειν; ἀναρρώννυσθαι *P.*; ἀναλαμβάνειν (m. u. ohne ἑαυτόν), sp. ἐξαναφέρειν; ἀνίστασθαι (ἐκ τῆς νόσου); περιγίγνεσθαι (τῆς νόσου); ἀποφεύγειν τὴν νόσον; ὑγιάζεσθαι, ὑγιαίνεσθαι (*P.*), ὑγιαίνειν; ganz g. ἐξυγιαίνειν.

Genesung ἡ ἀνάληψις, ἡ τῆς νόσου ἀποφυγή; ἡ ῥαστώνη, auch ἡ σωτηρία, z. B. es ist keine Hoffnung auf G. οὐδεμία ἐλπίς ἐστι σωτηρίας. — ohne Hoffnung auf G. krank sein ἀβιώτως ἔχειν. — Auch umschr. durch Verba, z. B. nach der G. ἀναλαβών u. s. w. — zur G.! (als Wunsch beim Niesen), s. Gesundheit.

Genetiv, s. Genitiv.

genial εὐφυής 2. u. *sup.*; γόνιμος 2. (schöpferisch); vgl. geistreich.

Genialität ἡ εὐφυΐα, τὸ εὐφυές, τὸ γόνιμον.

Genick ὁ αὐχήν, ένος, τὸ ἰνίον, ὁ τράχηλος. — sich d. G. brechen ἐκτραχηλίζεσθαι *P.*

Genie ἡ φύσις, εὐφυΐα, τὸ εὐφυές. — er ist e. G. ἀνήρ ἐστιν εὐφυέστατος, δεινότατος od. κράτιστος τὴν ψυχήν. — G. haben zu etw. εὐφυέστατον εἶναι od. ἄριστα πεφυκέναι εἴς (πρός) τι, εἰς (πρὸς) τὸ m. *inf.*

genieren, Jmd., ἀσχολίαν παρέχειν τινί, ἐνοχλεῖν

τινι u. τινα. — es geniert mich etw. δυσχερές, ἐπαχθές, ἀηδές ἐστί μοί τι, χαλεπῶς φέρω τι, τινί, ἐπί τινι, ἄχθομαί (P.) τινι u. ἐπί τινί. — sich g. ὀκνεῖν; vgl. scheuen, sich.

geniessbar πρόσφορος 2.; vgl. essbar.

geniessen προσφέρεσθαί τι (zu sich nehmen), γεύεσθαί τινος (kosten), vgl. essen, trinken. — übtr. ἀπολαύειν τινός (v. etw.), τι (etw.), τινός τι (v. e. Sache etw.); καρποῦσθαί τι; auch λαμβάνειν τι, τυγχάνειν τινός. — d. Früchte fremder Arbeit g. καρποῦσθαι τὰ ἑτέροις πεπονημένα od. ἀλλότριον ἀμᾶν θέρος. — Ehre g. τιμῆς τυγχάνειν, τιμῆς ἀξιοῦσθαι P., τιμᾶσθαι P.; τιμαῖς αὐξάνεσθαι P. — mehr Ehre als e. Anderer g. τιμαῖς πλεονεκτεῖν τινος. — e. Unterricht g. τυγχάνειν παιδείας, χρῆσθαι παιδείᾳ, παιδεύεσθαι P., bei Jmd. χρῆσθαί τινι διδασκάλῳ, e. guten Unterricht genossen haben ἀγαθῶν τετυχηκέναι διδασκάλων; der e. guten Unterricht genossen hat εὖ πεπαιδευμένος 3. — Gutes g. ἀγαθοῦ τινος τυγχάνειν παρά τινος, εὖ πάσχειν od. ἀγαθὸν πάσχειν ὑπό τινος, εὐεργετεῖσθαι (P.) ὑπό τινος. — im Uebermasse g. ἐμπίπλασθαί (P.) τινος, ἐμφορεῖσθαί (DP., sp. DM.) τινος (eig.); πολλῷ χρῆσθαί τινι, πολλοῦ τυγχάνειν τινός (übtr.). — der etw. noch nicht genossen hat ἄγευστος od. ἄπειρός (2.) τινος.

Geniessen, das, s. Genuss.

Genist ἡ κάρφη, τὸ κάρφος (τὰ κάρφη), ὁ συρφετός, ὁ φορυτός.

Genitiv ἡ γενική (sc. πτῶσις).

Genius ὁ δαίμων, ονος, τὸ δαιμόνιον. — d. gute G. ὁ ἀγαθὸς δαίμων; d. böse G. ὁ κακὸς δαίμων, ὁ κακοδαίμων. — d. G. einer Sprache ἡ φύσις τῆς γλώττης.

Genosse ὁ ἑταῖρος; ὁ ἡλικιώτης, ὁ ἧλιξ, ὁμῆλιξ, κος (Kamerad); ὁ κοινωνός τινος, ὁ μετέχων (-οντος) τινός (G. od. Theilnehmer bei etw.); ὁ συνεργός, συλλήπτωρ, ορος (Gehülfe). — die G. Jmds. οἱ σύν τινι, μετά τινος, περί τινα, ἀμφί τινα.

Genossenschaft ἡ ἑταιρεία, κοινωνία. — Zeus als Vorsteher u. Beschützer der G. Ζεὺς ἑταιρεῖος.

Genossin ἡ ἑταίρα; ἡ ἡλικιῶτις, ιδος, ἡ ἧλιξ, ὁμῆλιξ, κος; ἡ κοινωνός τινος, ἡ μετέχουσά τινος; ἡ συνεργός τινος, ἡ συλλήπτρια; vgl. Genosse.

Genrebild ἡ ῥωπογραφία.

Genremaler ὁ ῥωπογράφος.

Genüge 1) der Zustand, wo man genug hat: ἡ πλησμονή, ὁ κόρος (Sättigung); ἡ ἀφθονία (Ueberfluss). — zur G. ἀρκούντως, ἐξαρκούντως, ἅλις, κατακόρως (hinreichend); ἀφθόνως (in Hülle u. Fülle); mehr als zur G. εἰς κόρον, ἄχρι κόρον, εἰς πλησμονήν. — zur G. haben etw. ἱκανὰ (ἀρκοῦντα, ἄφθονα) ἔχειν τινά, ἀφθονίαν ἔχειν τινός. — 2) G. thun od. leisten Jmd.: ἀρκεῖν, ἐξαρκεῖν τινι (oft m. e. part.). — seiner Pflicht G. leisten πράττειν τὰ δέοντα od. προσήκοντα. — ich leiste meinem Versprechen G. ποιῶ ὃ ἂν ὑπόσχωμαι, vgl. erfüllen. — d. Gesetzen G. leisten πείθεσθαι (P.) τοῖς νόμοις, δρᾶν κατὰ τοὺς νόμους. — nicht G. leisten in etw. ἐλλείπειν τινός.

genügen ἀρκεῖν, ἐξαρκεῖν, ἱκανὸν εἶναι, ἱκανῶς ἔχειν, ἀποχρῆναι. — es genügt mir ἀρκεῖ, ἐξαρκεῖ μοί τι, ἀπόχρη μοί τι; auch ἀρκοῦμαί (P.) τινι, ἀγαπῶ u. στέργω τινί od. τι, ἀγαπῶ m. part., z. B. es genügt mir e. mässiges Besitzthum ἀγαπῶ (auch ἀρκοῦντα od. ἱκανὰ ἔχω) μέτρια κεκτημένος. — **genügend** ἱκανός 3., ἀρκῶν, ἀποχρῶν 3. — sich selbst g. αὐτάρκης 2.

genügsam εὔκολος 2., εὐτελής 2., μέτριος 3. u. 2., σώφρων 2., sp. ὀλιγαρκής 2. — g. sein μετρίων δεῖσθαι, sp. ὀλιγαρκεῖν. — g. leben εὐκόλως od. εὐτελῶς ζῆν.

Genügsamkeit ἡ εὐκολία, εὐτέλεια, μετριότης, σωφροσύνη, sp. τὸ ὀλιγαρκές; ἡ αὐτάρκεια (Selbstgenügsamkeit).

genug 1) adj. ἱκανός, ἀρκῶν, ἐξαρκῶν, ἀποχρῶν 3.; sp. ἐπαρκής 2.; ἄφθονος 2. (in Hülle u. Fülle); αὐτάρκης 2. (sich selbst g.). — g. haben ἀρκοῦντα od. ἱκανὰ ἔχειν, οὐδενὸς δεῖσθαι (DP.). — ich habe g. an etw. ἀρκεῖ od. ἐξαρκεῖ μοί τι, ἀρκοῦμαί (P.) τινι, ἀγαπῶ u. στέργω τινί od. τι (auch m. part.), ἅλις ἔχω τινός, ἅλις ἐστί μοί τινος; ἄδην ἔχω τινός, ἄδην ἔχει μοί τι (bis zum Ueberdrusse). — es ist g. ἀρκεῖ, ἐξαρκεῖ, ἀπόχρη, ἱκανόν ἐστιν; es ist g. an etw. ἅλις ἐστί od. γίγνεταί τινος. — nicht g. bekommen können v. etw. ἀπλήστως ἔχειν τινός, auch πρός u. περί τι. — 2) adv. ἅλις, ἱκανῶς, ἀρκούντως, ἐξαρκούντως, ἀποχρώντως; ἀφθόνως (in Hülle u. Fülle); ἄδην (bis zum Ueberdrusse). — doch g. hievon! ἀλλ' ἱκανῶς ταῦτα εἰρήσθω ἡμῖν, ἀλλ' ἅλις δὴ τούτων, ἀλλὰ ταῦτα μὲν δὴ ταῦτα. — ich glaube wenigstens es wird g. hierüber gesagt sein ἐμοὶ γοῦν δοκεῖ ἀποχρώντως περὶ τούτων εἰρῆσθαι. — nicht gross g. ἐλάττων (2.) τοῦ δέοντος.

genugsam, s. genug.

genugthun, s. „Genüge" leisten od. thun, u. vgl. d. f. W.

Genugthuung ἡ δίκη, τιμωρία. — Jmd. G. geben für etw. δίκην διδόναι τινί τινος, δίκην od. τιμωρίαν ὑπέχειν τινί τινος. — G. bekommen für etw. v. Jmd. δίκην od. τιμωρίαν λαμβάνειν τινὸς παρά τινος. — sich v. Jmd. G. verschaffen für etw. τιμωρεῖσθαί τινά τινος, seltner ἀντί u. περί τινος, selten τίνεσθαί τινα ὑπέρ τινος. — Jmd. G. verschaffen wegen etw. τιμωρεῖν τινί τινος u. ὑπέρ τινος.

Genus τὸ γένος (der Nomina); ἡ διάθεσις (der Verba).

